# ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

Παῦλος καὶ Τιμόθεος δοῦλοι Χριστοῦ Ἰησοῦ 1 1 K 1,2.
πᾶσιν τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν 1 T 3,1.8.
Φιλίπποις σὺν ἐπισκόποις καὶ διακόνοις· χάρις 2 R 1,7.
ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ
κυρίου Ἰησοῦ Χριστοῦ.
Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ 3 R 1,8. 1 K 1,4.
ὑμῶν, πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων 4
ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος, ἐπὶ τῇ 5
κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον ἀπὸ τῆς πρώ-
της ἡμέρας ἄχρι τοῦ νῦν, πεποιθὼς αὐτὸ τοῦτο, 6 2,13. 1 K 1,6–8.
ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτε-
λέσει ἄχρι ἡμέρας Χριστοῦ Ἰησοῦ· καθώς ἐστιν 7
δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν,
διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς
δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει
τοῦ εὐαγγελίου συνκοινωνούς μου τῆς χάριτος
πάντας ὑμᾶς ὄντας. μάρτυς γάρ μου ὁ θεός, 8 R 1,9. 2 K 1,23.
ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Χριστοῦ 1 Th 2,5.
Ἰησοῦ. καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη 9
ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπι-
γνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν 10 R 2,18; 12,2.
ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ 1 Th 5,23. H 5,14.
ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι 11 E 5,9;
καρπὸν δικαιοσύνης τὸν διὰ Ἰησοῦ Χριστοῦ, εἰς 1,6.12.14. J 15,8.
δόξαν καὶ ἔπαινον θεοῦ.
Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ 12 2 T 2,9.
κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου
ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν 13 4,22. E 3,1.

---

*3.4* H *υμων παντοτε ... υμων, μετα* *6* 𝔎 *Ιησου Χριστου*
*9* hW *περισσευση*

---

*3 θεω μου : κυριω ημων* *5 — της* *7 — εν 3º*
*8 μου : μοι + εστιν* *11 καρπων δικ. των*

*Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς*
14 *λοιποῖς πᾶσιν, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν*
*ἐν κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισ-*
*σοτέρως τολμᾶν ἀφόβως τὸν λόγον τοῦ θεοῦ*
15 *λαλεῖν. Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν,*
*τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσου-*
16 *σιν· οἱ μὲν ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν*
7. 17 *τοῦ εὐαγγελίου κεῖμαι, οἱ δὲ ἐξ ἐριθείας τὸν Χρι-*
*στὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν*
2,17.18. 18 *ἐγείρειν τοῖς δεσμοῖς μου. τί γάρ; πλὴν ὅτι παντὶ*
*τρόπῳ, εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγ-*
*γέλλεται, καὶ ἐν τούτῳ χαίρω· ἀλλὰ καὶ χαρή-*
Job 13,16. 2 K 1,11. 19 *σομαι· οἶδα γὰρ ὅτι* **τοῦτό μοι ἀποβήσεται εἰς**
**σωτηρίαν** *διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας*
1 P 4,16. 20 *τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀπο-*
*καραδοκίαν καὶ ἐλπίδα μου ὅτι ἐν οὐδενὶ αἰσχυν-*
*θήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ ὡς πάντοτε καὶ*
*νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου,*
G 2,20. 21 *εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου. Ἐμοὶ γὰρ τὸ*
R 1,13. 22 *ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. εἰ δὲ τὸ*
*ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί*
1 Rg 19,4. 2 K 5,8. 23 *αἱρήσομαι οὐ γνωρίζω. συνέχομαι δὲ ἐκ τῶν δύο,*
*τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν*
24 *Χριστῷ εἶναι, πολλῷ γὰρ μᾶλλον κρεῖσσον· τὸ*
*δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς.*
25 *καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ καὶ παρα-*
*μενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ*
26 *χαρὰν τῆς πίστεως, ἵνα τὸ καύχημα ὑμῶν περισ-*
*σεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρ-*

---

*17* H *εριθιας* | *τον* : [R]—hW *18* W— *πλην* | *χαιρω* : R,T. | *χαρησομαι* : H,RW. *19 γαρ* : hW *δε* *22* ℋ *εργον,*— | h *αιρησομαι;* *24* h *επιμειναι* | *τη* : [R] W pr *εν* *25* TW *οιδα, οτι*

---

*14 — του θεου* *16.17 : (17.16) οι μεν εξ εριθειας ... οι δε εξ αγαπης ...* | *επιφερειν* *18 — οτι* *23 δε : γαρ* | *— εις* | *πολλω γαρ : ποσω* *25 συμπαραμενω*

*ουσίας πάλιν πρὸς ὑμᾶς. Μόνον ἀξίως τοῦ* 27 Kol 1,10.
*εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε* 1 Th 2,12. 4,8.
*ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούω τὰ περὶ*
*ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ*
*συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ* 28
*πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις*
*ἐστὶν αὐτοῖς ἔνδειξις ἀπωλείας, ὑμῶν δὲ σωτη-*
*ρίας, καὶ τοῦτο ἀπὸ θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη* 29
*τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν*
*ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, τὸν αὐτὸν* 30 Act 16,22.
*ἀγῶνα ἔχοντες οἷον εἴδετε ἐν ἐμοὶ καὶ νῦν ἀκούετε*
*ἐν ἐμοί.*

*Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παρα-* 2
*μύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ*
*τις σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν* 2
*χαρὰν ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην*
*ἔχοντες, σύνψυχοι, τὸ ἓν φρονοῦντες, ˡμηδὲν κατ'* 3 G 5,26. R 12,10.
*ἐριθείαν μηδὲ κατὰ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινο-*
*φροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν,*
*ˡ μὴ τὰ ἑαυτῶν ἕκαστοι σκοποῦντες, ἀλλὰ καὶ τὰ* 4 1 K 10,24.33.
*ἑτέρων ἕκαστοι. τοῦτο φρονεῖτε ἐν ὑμῖν ὃ καὶ* 5
*ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων* 6 J 1,1.2; 17,5. Gn 1,27; 3,5.
*οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλὰ* 7 Is 53,3. 2 K 8,9. H 2,14.17.
*ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών, ἐν ὁμοιώ-*
*ματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς*
*ὡς ἄνθρωπος ˡ ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπή-* 8 H 12,2; 5,8.
*κοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ* 9 Act 2,33.
*καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν, καὶ ἐχαρίσατο αὐτῷ* E 1,21. H 1,3.4.
*τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι* 10 Is 45,23. J 5,23. Ap 5,13.

---

*28.29* H (*ητις ... πασχειν*). **2**,*1 τις σπλ.* : W *τινα σπλ.* *2* W *συνψυχοι το* | *εν* : h *αυτο* *3* H *εριθιαν* *4 εκαστοι 1⁰* : h *εκαστος* *4.5* h *ετερων. εκαστοι τουτο* *7* T *γενομενος και ... ανθρωπος,* *8* RW *εαυτόν,* *9* TW *υπερυψωσεν και*

---

*27 ακουσω* *28 υμων : υμιν* *29 υμιν : ημιν* **2**,*3 μηδε κατα : ἢ* *4 σκοπειτε (-τω)* | *— και* *5 τουτο : + γαρ* | *φρονεισθω* *7 ανθρωπου* *9 — το 1⁰*

Ἰησοῦ **πᾶν γόνυ κάμψῃ** ἐπουρανίων καὶ ἐπιγείων
11 καὶ καταχθονίων, **καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται**
ὅτι ΚΥΡΙΟΣ ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ εἰς δόξαν **θεοῦ**
πατρός.
1 P 1,17. Ps 2,11. 12 Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπη-
κούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον ἀλλὰ
νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ
φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργά-
J 15,5. 2 K 3,5. 1 Th 2,13. 13 ζεσθε· θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ
1 P 4,9. 14 θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. πάντα
1,10. Mt 5,14; 10,16. 15 ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, ἵνα
E 5,8. γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, **τέκνα θεοῦ ἄμωμα**
Dt 32,5. Act 2,40. μέσον **γενεᾶς σκολιᾶς καὶ διεστραμμένης**, ἐν οἷς
1 Th 2,19. 16 φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς
Is 49,4; 65,23. G 2,2. ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ,
ὅτι οὐκ εἰς κενὸν ἔδραμον οὐδὲ **εἰς κενὸν ἐκοπίασα.**
R 15,16. 2 T 4,6. 17 Ἀλλὰ εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λει-
τουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συνχαίρω
3,1; 4,4. 18 πᾶσιν ὑμῖν· τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ
συνχαίρετέ μοι.
19 Ἐλπίζω δὲ ἐν κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέως
πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ
1 K 16,10. 20 ὑμῶν. οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως
2 T 4,10.16. G 4,17. 21 τὰ περὶ ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ τὰ ἑαυ-
22 τῶν ζητοῦσιν, οὐ τὰ Χριστοῦ Ἰησοῦ. τὴν δὲ δο-
κιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν
23 ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. Τοῦτον μὲν
οὖν ἐλπίζω πέμψαι ὡς ἂν ἀφίδω τὰ περὶ ἐμὲ
1,25. 24 ἐξαυτῆς· πέποιθα δὲ ἐν κυρίῳ ὅτι καὶ αὐτὸς τα-
4,18. 25 χέως ἐλεύσομαι. ἀναγκαῖον δὲ ἡγησάμην Ἐπα-
φρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συνστρα-

---

*11* HW *εξομολογησηται* *12* H [ως] *17* W *αλλ*
*21* hR *Ιησου Χριστου* *23* W *απιδω*

---

*13 ο θεος* *15 ητε* | *αμωμητα* *19 εν Χριστω* *24* fin
+ *προς υμας*

τιώτην μου, ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν
τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς, ¹ ἐπειδὴ ἐπι- 26
ποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν διότι
ἠκούσατε ὅτι ἠσθένησεν. καὶ γὰρ ἠσθένησεν παρα- 27
πλήσιον θανάτῳ· ἀλλὰ ὁ θεὸς ἠλέησεν αὐτόν,
οὐκ αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην
ἐπὶ λύπην σχῶ. σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν, 28
ἵνα ἰδόντες αὐτὸν πάλιν χαρῆτε κἀγὼ ἀλυπότερος
ὦ. προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ μετὰ πάσης 29 1 K 16,16.
χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, ¹ ὅτι 30
διὰ τὸ ἔργον Χριστοῦ μέχρι θανάτου ἤγγισεν,
παραβολευσάμενος τῇ ψυχῇ ἵνα ἀναπληρώσῃ τὸ
ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν κυρίῳ. 3 2,18; 4,4.
τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν
δὲ ἀσφαλές.

Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς 2 Ap 22,15.
ἐργάτας, βλέπετε τὴν κατατομήν. ἡμεῖς γάρ ἐσμεν 3 R 2,29.
ἡ περιτομή, οἱ πνεύματι θεοῦ λατρεύοντες καὶ
καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ καὶ οὐκ ἐν σαρκὶ
πεποιθότες, καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν 4 2 K 11,18.22.
σαρκί. Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί,
ἐγὼ μᾶλλον· περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσ- 5 Act 26,5.
ραήλ, φυλῆς Βενιαμείν, Ἑβραῖος ἐξ Ἑβραίων, L 1,59; 2,21.
κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλος διώκων τὴν 6
ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενό-
μενος ἄμεμπτος. [Ἀλλὰ] ἅτινα ἦν μοι κέρδη, 7 Mt 13,44.46.
ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μὲν 8
οὖν γε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ

*26 παντας υμας* : H+ [*ιδειν*], h *υμας παντας*, (T—,) | TW *αδημονων*, *27* H *θανατου* *30 Χριστου* : *K Κυριου* | TW *ηγγισεν παραβ. τ. ψυχη*, 3,*1* H *ασφαλες*. — *7* [*αλλα*] : HW—T *8* R— *γε*

*30 — Χριστου* | *παραβουλευσαμενος* 3,*1 το ασφαλες* *3 θεου* : *θεω* *6 ζηλον* | *εκκλησιαν* : + (*του*) *θεου* *8 — και 1⁰*

ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου
μου, δι᾽ ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι
R 3,21.22. 9 σκύβαλα ἵνα Χριστὸν κερδήσω ¹ καὶ εὑρεθῶ ἐν
αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου,
ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ θεοῦ δι-
R 6,3–5. R 8,17. G 6,17. 10 καιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν καὶ
τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ κοινωνίαν
παθημάτων αὐτοῦ, συμμορφιζόμενος τῷ θανάτῳ
Act 4,2. Ap 20,5.6. 11 αὐτοῦ, εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν
1 T 6,12. Act 9,6. 12 ἐκ νεκρῶν. οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι,
διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ᾽ ᾧ καὶ κατελήμ-
13 φθην ὑπὸ Χριστοῦ Ἰησοῦ. ἀδελφοί, ἐγὼ ἐμαυτὸν
οὔπω λογίζομαι κατειληφέναι· ἓν δέ, τὰ μὲν
ὀπίσω ἐπιλανθανόμενος τοῖς δὲ ἔμπροσθεν ἐπεκ-
1 K 9,24. 14 τεινόμενος, ¹ κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον
τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ.
1 K 2,6. 15 Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν· καὶ εἴ τι ἑτέ-
ρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκα-
G 6,16. 16 λύψει· πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν.
1 K 11,1. 17 Συνμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε
τοὺς οὕτω περιπατοῦντας καθὼς ἔχετε τύπον ἡμᾶς.
1 K 1,23. G 6,12. 18 πολλοὶ γὰρ περιπατοῦσιν οὓς πολλάκις ἔλεγον
ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ
R 16,18. 19 σταυροῦ τοῦ Χριστοῦ, ¹ ὧν τὸ τέλος ἀπώλεια, ὧν
ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν,
E 2,6. Kol 3,1. H 12,22. 20 οἱ τὰ ἐπίγεια φρονοῦντες. ἡμῶν γὰρ τὸ πολί-
τευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα
1 K 15,43.49.53. 21 ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν, ὃς μετα-
σχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμ-
μορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν

---

*9* W *δικαιοσυνην, επι* *10 παθημ.* : R pr [*των*] | T *συνμορφιζ.* *12* T— *και* 1$^{o}$ | *Ιησου* : [H]—R *13 ουπω* : hRW *ου* *17* W *ουτως* *21* T *συνμορφ.*

---

*8 σκυβ.* : + *ειναι* *11 την εκ* : *των* *12 ελαβον* : + *η ηδη δεδικαιωμαι* *14 εις* : *επι* *15 φρονουμεν* *16* fin + *κανονι, το αυτο φρονειν* *21 ημων* : + *εις το γενεσθαι αυτο*

ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ
τὰ πάντα.
Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, 4 2 K 1,14. 1 Th 2,19.20.
χαρὰ καὶ στέφανός μου, οὕτως στήκετε ἐν κυρίῳ.
ἀγαπητοί. Εὐοδίαν παρακαλῶ καὶ Συντύχην 2
παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. ναὶ ἐρωτῶ 3 1,27. Ps 69,29. L 10,20.
καὶ σέ, γνήσιε σύνζυγε, συνλαμβάνου αὐταῖς, αἵ-
τινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι μετὰ καὶ
Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ
ὀνόματα ἐν βίβλῳ ζωῆς. Χαίρετε ἐν κυρίῳ πάν- 4 3,1. 2 K 13,11.
τοτε· πάλιν ἐρῶ, χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν 5 H 10,37. Jc 5,8.9.
γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ κύριος ἐγγύς.
μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ 6 Mt 6,25–34. 1 P 5,7. Ps 145,18.
τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν
γνωριζέσθω πρὸς τὸν θεόν. καὶ ἡ εἰρήνη τοῦ 7 J 14,27. Kol 3,15.
θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς
καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ
Ἰησοῦ. Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, 8 R 12,17.
ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ,
ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος,
ταῦτα λογίζεσθε· ἃ καὶ ἐμάθετε καὶ παρελάβετε 9 1 Th 5,23. R 16,20. 1 K 14,33.
καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσ-
σετε· καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.
Ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ 10
ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ
ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. οὐχ ὅτι καθ' ὑστέρη- 11 1 T 6,6.
σιν λέγω· ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμι αὐτάρκης
εἶναι. οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισ- 12 2 K 6,10.
σεύειν· ἐν παντὶ καὶ ἐν πᾶσιν μεμύημαι, καὶ
χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν· καὶ
ὑστερεῖσθαι. πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί 13 2 K 12,10. 2 T 4,17.

---

*21* αυτω : H αὐτῳ 4,*1* fin h+ *μου* *2* T *Συντυχὴν*
*3* h *Σύνζυγε* *6* H *μετ*

---

*7* θεου : Χριστου *8* επαινος : + επιστημης *10* το : του

14 με. πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου
2 K 11,9. 15 τῇ θλίψει. οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι
ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακε-
δονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς
λόγον δόσεως καὶ λήμψεως εἰ μὴ ὑμεῖς μόνοι.
16 ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν
1 K 9,11. 17 χρείαν μοι ἐπέμψατε. οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα,
ἀλλὰ ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς
Ex 29,18. 18 λόγον ὑμῶν. ἀπέχω δὲ πάντα καὶ περισσεύω·
Ez 20,41. 2,25. πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ
παρ' ὑμῶν, **ὀσμὴν εὐωδίας**, θυσίαν δεκτήν, εὐάρεσ-
19 τον τῷ θεῷ. ὁ δὲ θεός μου πληρώσει πᾶσαν
χρείαν ὑμῶν κατὰ τὸ πλοῦτος αὐτοῦ ἐν δόξῃ ἐν
20 Χριστῷ Ἰησοῦ. τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ.
1,18. 22 ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. [1] ἀσπά-
ζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ
τῆς Καίσαρος οἰκίας.
23 Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ
πνεύματος ὑμῶν.

**Subscriptio:** *εγραφη απο Ρωμης δι Επαφροδιτου*

**1,2** *Κολασσαις* | *Χριστω* : + *Ιησου* | **fin** + *και κυριου Ιησου Χριστου*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/